## CCCXXXVIII

### Λιβάνιος Βασιλείῳ[1]

Οἶδα ὅτι πολλάκις τοῦτο γράψεις, τό, Ἰδού σοι καὶ ἕτερος ἥκει Καππαδόκης. πολλοὺς γάρ, οἶμαι, πέμψεις, ἀεὶ μὲν καὶ πανταχοῦ τοῖς ἐγκωμίοις τοῖς κατ᾽ ἐμοῦ χρώμενος, τούτῳ δὲ αὐτῷ καὶ πατέρας κινῶν καὶ παῖδας.

Ἀλλ᾽ ὅ γε ἐγένετο περὶ τὴν ἐπιστολήν σου τὴν καλήν, οὐ καλὸν σιωπῆσαι. παρεκάθηντό μοι τῶν ἐν ἀρχῇ γεγενημένων ἄλλοι τε οὐκ ὀλίγοι, καὶ ὁ πάντα ἄριστος Ἀλύπιος Ἱεροκλέους ἀνεψιὸς ἐκείνου. ὡς οὖν ἔδοσαν οἱ φέροντες τὴν ἐπιστολήν, σιγῇ διὰ πάσης ἐλθών, Νενικήμεθα, ἔφην, μειδιῶν τε ἅμα καὶ χαίρων. Καὶ τίνα σὺ νενίκησαι νίκην; ἤροντο· καὶ πῶς οὐκ ἀλγεῖς νενικημένος; ἐν κάλλει μέν, ἔφην, ἐπιστολῶν ἥττημαι·[2] Βασίλειος δὲ κεκράτηκε. φίλος δὲ ὁ ἀνήρ, καὶ διὰ τοῦτο εὐφραίνομαι. ταῦτα εἰπόντος ἐμοῦ, παρ᾽ αὐτῶν μαθεῖν ἠβουλήθησαν τῶν γραμμάτων τὴν νίκην. καὶ ἀνεγίνωσκε μὲν ὁ Ἀλύπιος, ἤκουον δὲ οἱ παρόντες. ἡ ψῆφος δὲ ἠνέχθη, μηδέν με ἐψεῦσθαι. καὶ τὰ γράμματα ἔχων ὁ ἀναγνοὺς ἐξῄει, δείξων[3] οἶμαι καὶ ἄλλοις,

[1] Λιβάνιος πρὸς ταῦτα E. [2] νενίκημαι editi antiqui. [3] δεῖθον E.

[1] Alypius, cousin of Hierocles of Antioch (Amm. 23. 1, 2; Lib. *Ep.* 327), was a brother of Caesarius (Jul. *Ep.* 29), a nephew of Hierocles (Lib. *Ep.* 1583), after whom he named



COLLECTED LETTERS OF SAINT BASIL

καὶ μόλις ἀπέδωκε. γράφε τοίνυν παραπλήσια, καὶ νίκα· τουτὶ γάρ ἐστιν ἐμὲ νικᾶν.

Καλῶς δὲ κἀκεῖνο εἰκάζεις, ὡς οὐ χρήμασι μετρεῖται[1] τὰ παρ᾽ ἡμῶν· ἀλλ᾽ ἀρκεῖ τῷ μὴ δυναμένῳ δοῦναι τὸ βουληθῆναι λαβεῖν. κἂν γὰρ αἴσθωμαί τινα ἐν πενίᾳ λόγων ἐρῶντα, πρὸ τῶν πλουτούντων οὗτος. καίτοι οὐ τοιούτων πεπειράμεθα διδασκάλων· ἀλλ᾽ οὐδὲν κωλύσει[2] ταύτῃ γε εἶναι βελτίονας.[3] μηδεὶς οὖν πένης ὀκνείτω δεῦρο βαδίζειν, εἰ ἓν ἐκεῖνο κέκτηται[4] μόνον, τὸ ἐπίστασθαι πονεῖν.

## CCCXXXIX

### Βασίλειος Λιβανίῳ

Τί οὐκ ἂν εἴποι σοφιστὴς ἀνήρ, καὶ σοφιστὴς τοιοῦτος, ᾧ γε ἴδιον εἶναι τῆς τέχνης ὡμολόγηται, καὶ[5] τὰ μεγάλα μικρὰ ποιεῖν ὅτε[6] βούλεται, καὶ τοῖς μικροῖς περιτιθέναι μέγεθος; ὁποῖον δή τι καὶ περὶ ἡμᾶς ἐπεδείξω. τὴν γὰρ ἐπιστολὴν ἐκείνην τὴν ῥυπῶσαν, ὡς ἂν ὑμεῖς οἱ περὶ τοὺς λόγους τρυφῶντες εἴποιτε, οὐδὲν οὖσαν τῆς ἐν χερσί σου ταύτης ἀνεκτοτέραν, τοσοῦτον ἦρας τῷ λόγῳ,

[1] πράττεται nonnulli MSS. [2] κωλύει editi antiqui. [3] βελτίονα E. [4] κέκτημαι E. [5] om. E. [6] ὅποτε editi antiqui.

[1] The sophists charged a fee for their instruction (Aristotle, *Eth. N.* 9. 1, 7), and this was the practice of the rhetors of the Fourth Century. Libanius, the most famous teacher of his time, charged a high fee; cf. Letter CCCXLVIII.

[2] Clearly an answer to the preceding.

[3] Cf. Plato, *Phaedr.* 267A and B: Τισίαν δὲ Γοργίαν τε